Πρ. Τουτὶ τί ἦν. ποῦ τοξότης. ταύτης ἔχου.
Παύσω τιν' ὑμῶν τῆσδ' ἐγὼ τῆς ἐξόδου.
Στ. Εἰτ' ἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ πρόσει,
Ἐκκοκιῶ σου τὰς στενοκωκύτους τρίχας.
Πρ. Οἴμοι κακοδαίμων ἐπιλέλοιφ' ὁ τοξότης.
Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα
Ἡμῖν. ὁμόσε χωρῶμεν αὐταῖς ὦ Σκύθαι,
Ξυνταξάμενοι. Λυ. νὴ τὼ θεὼ γνώσεσθ' ἄρα
Ὅτι καὶ παρ' ἡμῖν εἰσὶ τέσσαρες λόχοι
Μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.
Πρ. Ἀποστρέφετε τὰς χεῖρας αὐτῶν ὦ Σκύθαι.
Λυ. Ὦ ξύμμαχοι γυναῖκες ἐκθεῖτ' ἔνδοθεν
Ὦσπερ μαγοραιολεκιθολαχανοπώλιδες
Ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες.
Οὐκ ἐξέλκετ'. οὐ παιήσετ'. οὐκ ἀρήξετε.
Οὐ λοιδορήσετ'. οὐκ ἀναισχυντήσετε.
Παύσασθ'. ἐπαναχωρεῖτε. μὴ σκυλεύετε.
Πρ. Οἴμοι κακῶς πέπραγέ μου τὸ τοξικόν.
Λυ. Ἀλλὰ τί γὰρ ᾤου. πότερον ἐπὶ δούλας τινὰς
Ἥκειν ἐνόμισας ἢ γυναιξὶν οὐκ οἴει
Χολὴν ἐνεῖναι; Πρ. μὰ τὸν Ἀπόλλω καὶ μάλα
Πολλήν, ἐάν γε πλησίον κάπηλος ᾖ.
Χο. Ὦ πόλλ' ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς
Τί τοῖσδε σαυτὸν εἰς λόγον τοῖς θηρίοις συνάπτεις;
Οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι
Ἐν τοῖσιν ἱματιδίοις. καὶ ταῦτ' ἄνευ κονίας.
Χο. Γ. Ἀλλ' ὦ μέλ'. οὐ χρὴ προσφέρειν τοῖς πλησίοισιν εἰκῆ
Τὴν χεῖρ'. ἐὰν δὲ τοῦτο δρᾷς, κοιλιδιᾶν ἀνάγκη.
Ἐπεὶ θέλω 'γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι
Λυποῦσα μηδὲν ἐνθαδὶ κινοῦσα μηδὲ κάρφος.
Ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.

*PR. Quid istud est? vbi ille lictor? heus istam tene,*
*Eruptionem hanc perfacul repressero.*
*STR. Per Tauricam si pergis huc accedere*
*Crines reuellam flebilem in modum tuos.*
*PR. Heu me misellum, hic arquitum penuria est,*
*At non oportet fœminis sic cedere,*
*Age irruamus, ô Scythæ, instructo ordine*
*Aduorsus illas. LVS. Per deos videbitis*
*Lectas cohortes esse nobis quattuor*
*Pugnacium intus fœminarum & armitum.*
*PR. Vos fœminarum auertite, ô Scythæ, manus.*
*LVS. Exite sociæ fœminæ, huc concurrite*
*Vos seminiforipisolecipolæ, simul*
*Vos allicaupopanivendulæ aduoco.*
*Ecquid venitis, cæditis, succurritis,*
*Conuiciamini, impudenter pergitis?*
*Cessate, cessim abite, nec prædemini.*
*PR. Cessit meus, eheu, male sagittarius,*
*LVS. Nam quid putabas? rem tibi cum seruolis*
*Fore autumabas? tune bilem fœminis*
*Non esse credis? PR. Imò per Phœbum adfatim*
*Inesse credo, caupo si prope adsiet.*
*CH. S. V. O multa frustra verba qui mutaueris*
*Probule, cur his applicans te bestiis moraris?*
*Nescisne quali balneo nos alluere nuper*
*Per nostra pallia, idque labe sordidata nulla?*
*CH. MVL. Nam proximo stultè suo vis inferenda non est*
*Miselle, quòd si feceris, os vapulans tumebit*
*Velim quidem modestè, & instar virginis sedere*
*Nulli molesta, ne quidem festuculam mouendo,*
*Dum ne quis ut vespariam irritans clepat meum mel.*

BISETVS. Ἀληθὲς ὦ μιαρὰ σύ] ὑπηρέτης γενικώτερόν ἐστιν ὄνομα, καὶ παρὰ τῷ Σουΐδᾳ, καὶ τῷ Ἡσυχίῳ ἑρμηνεύεται δοῦλος. τὸ δὲ μέγα Ἐτυμολογικὸν λέγει, ἐκ τῆς ὑπὸ προθέσεως, καὶ τοῦ ἐρέσσειν, τὸ κωπηλατεῖν γίνεσθαι τὸ ὑποερέτης, ἐκβολῇ δὲ τοῦ ο, καὶ τροπῇ τοῦ ε εἰς η, ὑπηρέτης. κυρίως γὰρ ὁ ναύτης. ἐνταῦθα δέ, εἰδικώτερον ὑπηρέτης νοητέος ἐστίν, ὡς εἷς ὢν ἐκ τῶν δημοσίων δούλων, περὶ ὧν ὁ Πολυδεύκης ἐν τῷ ὀγδόῳ οὕτω γράφει. οἱ πρὸ τῶν δικαστηρίων, καὶ τῶν ἄλλων συνόδων δημόσιοι ὑπηρέται, οἷς ἐπετέτακτο ἀνείργειν τοὺς ἀκοσμοῦντας, καὶ τοὺς ἃ μὴ δεῖ λέγοντας ἐξαίρειν, καὶ Σκύθαι, καὶ Τοξόται, καὶ Σπευσίνιοι ἐκαλοῦντο, ἀπὸ τοῦ πρώτου συντάξαντος τὴν περὶ αὐτοὺς ὑπηρεσίαν. τούτων οὖν οὕτως ἐχόντων, δῆλον τὸν ὑπηρέτην, τὸν Τοξότην, καὶ τὸν Σκύθην συνωνύμως λέγεσθαι. διὸ οὐκ ἀπιθάνως τινὲς τεκμαίρονται, καὶ ἐνταῦθα, καὶ ἐν τοῖς ἑξῆς τὸ τοῦ ὑπηρέτου πρόσωπον, ἀντὶ τοῦ προσώπου τοῦ Προβούλου διεφθαρμένως γεγράφθαι. τοῦτον γὰρ τὸν εἰκασμὸν βεβαιοῦσιν ὁ νοῦς, καὶ ὁ τῶν λαλούντων λόγος. μάλιστα δέ, τὰ ὑπὸ τοῦ χοροῦ κάτω λεγόμενα,

Ὦ πόλλ' ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς.

τοῦ Προβούλου γὰρ ὡς ἄρχοντός τινος ὄντος, ἦν τοῖς ὑπηρέταις ἐπιτάττειν, οὐ τῶν ὑπηρετῶν τῷ Προβούλῳ καὶ διὰ ταῦτα βέλτιον ἴσως τὸ φανερὸν σφάλμα διορθοῦν. οἱ δέ, τήνδε τὴν παλαιὰν τούτων τῶν προσώπων γραφὴν σώζειν βουλόμενοι, λέγουσι τοὺς τοξότας τοῖς ὑπηρέταις ὑποτάττεσθαι, ὡς τοὺς ἥττους τοῖς κρείττοσι, καὶ τοὺς ἀτιμοτέρους τοῖς τιμιωτέροις καὶ τὸν ὑπηρέτην ἐνταῦθα εἶναι αὐτὸν ἐκεῖνον, ᾧ μικρῷ πρότερον ὁ Πρόβουλος ἔλεξε, Τί κέχηνας ὦ δύστηνε; καὶ τὸν αὐτὸν ὑπηρέτην νῦν ταῦτα λέγειν